[15]Καὶ εἶπεν κύριος πρός με Ἔτι λαβὲ σεαυτῷ σκεύη ποιμενικὰ 15
ποιμένος ἀπείρου. [16]διότι ἰδοὺ ἐγὼ ἐξεγείρω ποιμένα ἐπὶ τὴν γῆν· 16
τὸ ἐκλιμπάνον οὐ μὴ ἐπισκέψηται καὶ τὸ διεσκορπισμένον οὐ μὴ
ζητήσῃ καὶ τὸ συντετριμμένον οὐ μὴ ἰάσηται καὶ τὸ ὁλόκληρον
οὐ μὴ κατευθύνῃ καὶ τὰ κρέα τῶν ἐκλεκτῶν καταφάγεται καὶ τοὺς
ἀστραγάλους αὐτῶν ἐκστρέψει. [17]ὦ οἱ ποιμαίνοντες τὰ μάταια καὶ 17
οἱ καταλελοιπότες τὰ πρόβατα· μάχαιρα ἐπὶ τοὺς βραχίονας αὐτοῦ
καὶ ἐπὶ τὸν ὀφθαλμὸν τὸν δεξιὸν αὐτοῦ· ὁ βραχίων αὐτοῦ ξηραινό-
μενος ξηρανθήσεται, καὶ ὁ ὀφθαλμὸς ὁ δεξιὸς αὐτοῦ ἐκτυφλούμενος
ἐκτυφλωθήσεται.

[1]Λῆμμα λόγου κυρίου ἐπὶ τὸν Ισραηλ· λέγει κύριος ἐκτείνων 12
οὐρανὸν καὶ θεμελιῶν γῆν καὶ πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ
[2]Ἰδοὺ ἐγὼ τίθημι τὴν Ιερουσαλημ ὡς πρόθυρα σαλευόμενα πᾶσι 2
τοῖς λαοῖς κύκλῳ, καὶ ἐν τῇ Ιουδαίᾳ ἔσται περιοχὴ ἐπὶ Ιερουσαλημ.
[3]καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θήσομαι τὴν Ιερουσαλημ λίθον κατα- 3
πατούμενον πᾶσιν τοῖς ἔθνεσιν· πᾶς ὁ καταπατῶν αὐτὴν ἐμπαίζων
ἐμπαίξεται, καὶ ἐπισυναχθήσονται ἐπ᾽ αὐτὴν πάντα τὰ ἔθνη τῆς γῆς.
[4]ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος παντοκράτωρ, πατάξω πάντα 4
ἵππον ἐν ἐκστάσει καὶ τὸν ἀναβάτην αὐτοῦ ἐν παραφρονήσει, ἐπὶ
δὲ τὸν οἶκον Ιουδα διανοίξω τοὺς ὀφθαλμούς μου καὶ πάντας τοὺς
ἵππους τῶν λαῶν πατάξω ἐν ἀποτυφλώσει. [5]καὶ ἐροῦσιν οἱ χιλίαρ- 5
χοι Ιουδα ἐν ταῖς καρδίαις αὐτῶν Εὑρήσομεν ἑαυτοῖς τοὺς κατοι-
κοῦντας Ιερουσαλημ ἐν κυρίῳ παντοκράτορι θεῷ αὐτῶν. [6]ἐν τῇ 6
ἡμέρᾳ ἐκείνῃ θήσομαι τοὺς χιλιάρχους Ιουδα ὡς δαλὸν πυρὸς ἐν
ξύλοις καὶ ὡς λαμπάδα πυρὸς ἐν καλάμῃ, καὶ καταφάγονται ἐκ
δεξιῶν καὶ ἐξ εὐωνύμων πάντας τοὺς λαοὺς κυκλόθεν, καὶ κατοι-
κήσει Ιερουσαλημ ἔτι καθ᾽ ἑαυτήν. [7]καὶ σώσει κύριος τὰ σκηνώ- 7
ματα Ιουδα καθὼς ἀπ᾽ ἀρχῆς, ὅπως μὴ μεγαλύνηται καύχημα οἴκου
Δαυιδ καὶ ἔπαρσις τῶν κατοικούντων Ιερουσαλημ ἐπὶ τὸν Ιουδαν.
[8]καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὑπερασπιεῖ κύριος ὑπὲρ τῶν κατοι- 8
κούντων Ιερουσαλημ, καὶ ἔσται ὁ ἀσθενῶν ἐν αὐτοῖς ἐν ἐκείνῃ τῇ
ἡμέρᾳ ὡς οἶκος Δαυιδ, ὁ δὲ οἶκος Δαυιδ ὡς οἶκος θεοῦ, ὡς ἄγ-
γελος κυρίου ἐνώπιον αὐτῶν. [9]καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ζη- 9

15 σκευος A† | ποιμενικα / ποιμενος απειρου] tr. A, ποιμενος απ. > W† || 16 εγω > BS*L | ποιμενα] + απ(ε)ιρον ScL | εκλιμπανον] -λ(ε)ιπον ScLC | διεσκορπ. AQW] δι > BSLC | εκστρεψει] εκτριψει AC || 17 οι 2⁰ AQW] > BSLC | ο οφθαλμος] ο > BS† | ο δεξιος / αυτου BSC] tr. AQL

**12** 1 ανθρωπου] αυτου A† || 2 εσται] pr. και AQC || 3 επισυναχθησονται AQC] -σεται BSL || 4 των λαων] του λαου S*† | παταξω ult.] καταξω S*† || 6 πυρος 1⁰⌒2⁰ S*† | ιερουσ.] pr. την S*† | fin.] + εν ιερουσαλημ BS*C (in B sub ※, cf. 4 11) || 7 σωσει] δωσει A† | επαρσεις BL, επαρξεις A† || 8 οικος 1⁰ AQW(pr. ο)L] > BSC | δαυιδ 1⁰⌒2⁰ A 393†